# ΝΕΟΣ ΕΛΛΗΝΟΜΝΗΜΩΝ

ΠΕΡΙΟΔΙΚΟΝ ΣΥΓΓΡΑΜΜΑ ΣΥΝΤΑΣΣΟΜΕΝΟΝ ΚΑΙ ΕΚΔΙΔΟΜΕΝΟΝ

ΥΠΟ

ΣΠΥΡ. Π. ΛΑΜΠΡΟΥ

10

1913

ΦΩΤΟΤΥΠΙΚΗ ΑΝΑΤΥΠΩΣΙΣ * 1969 * RÉIMPRESSION ANASTATIQUE

ΕΚΔΟΣΕΙΣ ÉDITIONS

ΒΑΣ. Ν. ΓΡΗΓΟΡΙΑΔΗΣ ★ BAS. N. GRÉGORIADÈS

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π.
ΙΩΑΝΝΙΝΑ 2006

# ΓΡΑΜΜΑ ΣΙΓΙΛΛΙΩΔΕΣ

## ΤΗΣ ΙΕΡΑΣ ΜΟΝΗΣ ΚΟΣΙΝΙΤΖΗΣ

Ὑπὸ τὴν ἀνωτέρω ἐπιγραφὴν περιλαμβάνεται ἐν τῷ ὑπ᾿ ἀρ. 53 κώδικι τῆς ἁγιορειτικῆς μονῆς Ξηροποτάμου, γεγραμμένῳ τὸν δέκατον ὄγδοον αἰῶνα, μεταξὺ διαφόρων τύπων ἐπιστολῶν ἐν φ. 27β κ. ἑ. καὶ τὸ ἑξῆς ὑπὲρ τῆς ἐν Μακεδονίᾳ μονῆς Εἰκοσιφοινίσσης σιγίλλιον τοῦ πατριάρχου Ἱερεμίου Β΄, ἐκδοθὲν ἐν ἔτει 1544.

Ἱερεμίας ἐλέῳ θεοῦ ἀρχιεπίσκοπος Κωνσταντινουπόλεως Νέας Ῥώμης καὶ οἰκουμενικὸς πατριάρχης.

Ἔφθασαν μὲν καὶ οἱ πρὸ ἡμῶν ἁγιώτατοι πατριάρχαι ἐκεῖνοι οἱ καὶ τῷ ὁσίῳ θανάτῳ καὶ τῇ μακαρίᾳ λήξει ἀοίδιμοι χρηματίσαντες καὶ πᾶσαν ἀτέλειαν καὶ ἐλευθερίαν ἐκκλησιαστικῆς συνεισφορᾶς καὶ δόσεως ἐγγράφους παρέσχον τῇ ἀνὰ τῆς Μακεδονίας κατὰ τὸ τῆς Ματικίας ὄρος κειμένῃ σεβασμίᾳ καὶ ἱερᾷ πατριαρχικῇ μεγίστῃ μονῇ τῇ ἐπ᾿ ὀνόματι τιμωμένῃ τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου τῇ ἐπικεκλημένῃ τῆς Κοσινίσσης, προσκληρωσάμενοι ἐν αὐτῇ γε πρὸς μερικὴν αὐτῆς βοήθειάν τε καὶ σύστασιν καὶ τὰς ὑπὸ τὴν πατριαρχικὴν περιωπὴν τελούσας ἀνέκαθεν καὶ γειτνιαζούσας αὐτῇ δύο χώρας, τήν τε τοῦ Βρανοκάστρου καὶ τὴν τῆς Κορομίστης μετὰ καὶ τῶν ἐν αὐταῖς εὑρισκομένων πατριαρχικῶν σταυροπηγιακῶν σεβασμίων ναῶν, τοῦ τε ἐπ᾿ ὀνόματι τιμωμένου τοῦ μεγαλομάρτυρος Γεωργίου καὶ τῶν λοιπῶν. Ἔφθασε δὲ καὶ ἡ μετριότης ἡμῶν πρὸ χρόνων ἤτοι πολλῶν καὶ ὁμοίως τοῖς ἀοιδίμοις καὶ τρισολβίοις πατριάρχαις ἐκείνοις τὴν τοιαύτην ἐλευθερίαν τε καὶ ἀτέλειαν ἐγγράφως ἐπεβραβεύσατο τῇ διαληφθείσῃ σεβασμίᾳ καὶ ἱερᾷ μονῇ καὶ τὴν τῶν εἰρημένων ναῶν καὶ τῶν ἐν αὐταῖς πατριαρχικῶν καὶ σταυροπηγια-

10. *μετρικὴν* 12. *βρανοκάστου* 16. Ἀντὶ τοῦ ἤτοι γραπτέον ἤδη :

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Δ/της Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

κῶν ναῶν ἐν αὐτῇ γε προσκλήρωσιν, ὡς εἰκός, ἐπεκύρωσεν, αἰδεσθεῖσα, ὡς ἔδει, τά τε ἱερὰ ἐκείνων καὶ σεβάσμια γράμματα καὶ τὰς δι᾽ αὐτῶν βραβευθείσας αὐτῇ θεοφιλεῖς εὐεργεσίας καὶ χάριτας τήν τε τῶν ἐνασκουμένων ἐκεῖσε ὁσιωτάτων ἀνδρῶν μοναδικὴν πολιτείαν καὶ ἐνάρετον διαγωγὴν καὶ κοινοβιακὴν τωόντι κατάστασιν. Ἀλλ᾽ ἐπὶ τὸ πλεονεκτικὸν ἐπιχείρημα καὶ ἀμφιρρεπὲς καὶ πολύγνωμον τῆς τινων διαθέσεως καὶ μάλιστα τῶν ἐκεῖσέ που γειτνιαζόντων ἱερωτάτων ἀρχιερέων ἐνδοιάζοντάς πως πεποίηκε τοὺς ἐν αὐτῇ τανῦν εὑρισκομένους ἐν Χριστῷ ἀδελφούς, ὡς καὶ δευτέρας ἡμετέρας ἐπικυρωτικῆς περὶ τούτου δεηθῆναι γραφῆς καὶ παρακλήσει μεγίστῃ αὐτοὺς χρήσασθαι πρὸς τὴν ἡμῶν μετριότητα ἐκεῖσε ἐπιδημήσασαν

φ. 28α || ἕνεκα τῆς αὐτῆς ἐπιτεύξεως. Οὐ μὲν οὖν ἡ μετριότης ἡμῶν παριδεῖν ὅλως εἶχε τὴν τοιαύτην τῶν ἁπάντων ἀξίωσίν τε καὶ αἴτησιν, ἀλλὰ μᾶλλον ὡς εὔλογον οὖσαν αὐτὴν καὶ πολὺ τὸ δίκαιον [ἔχουσαν] ἀσπασίως προτιμαμένη τὴν παροῦσαν αὐτῆς καὶ αὖθις ἐπικυρωτικὴν γραφὴν ἀπολύει τοῖς σεβασμίοις ἀνδράσιν αὐτῆς, δι᾽ ἧς καὶ διορίζεται καὶ ἐν ἁγίῳ συνοδικῶς ἀποφαίνεται πνεύματι εἶναι καὶ ὑπάρχειν τὴν διαληφθεῖσαν σεβασμίαν καὶ ἱερὰν πατριαρχικὴν μεγίστην μονὴν τὴν ἐπ᾽ ὀνόματι μὲν τιμωμένην τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου, ἐπικεκλημένην δέ γε τῆς Κοσινίσσης ἐλευθέραν καὶ ἀνενόχλητον παρὰ παντὸς ἀρχιερατικοῦ ἢ πατριαρχικοῦ ἐξαρχικοῦ προσώπου περὶ τῆς οἱασοῦν ἐκκλησιαστικῆς συνεισφορᾶς τε καὶ δόσεως εἰς τοὺς ἑξῆς χρόνους ἅπαντας, ἔχουσαν καὶ κεκτημένην ἀναφαιρέτους καὶ ἀναποσπάστους τὸ σύνολον καὶ τὰς εἰρημένας πατριαρχικὰς χώρας αὐτάς, τήν τε τοῦ Βρανοκάστρου καὶ τὴν τῆς Κορομίστης, καὶ τοὺς ἐν αὐταῖς εὑρισκομένους σταυροπηγιακοὺς ἡμετέρους σεβασμίους ναούς, τόν τε ὀνομαζόμενον τοῦ μεγαλομάρτυρος Γεωργίου καὶ τοὺς λοιπούς, καὶ καρπουμένην διὰ τῶν ὁσιωτάτων καθηγουμένων αὐτῆς πρὸς μικρὰν αὐτῆς βοήθειαν καὶ σύστασιν ἅπαντα τὰ ἐν αὐταῖς γινόμενα ἐκκλησιαστικὰ εἰσοδήματά τε καὶ δικαιώματα, τὰ ἀπό τε συνοικεσίων δηλονότι, κανονικῶν, ζητείας καὶ πανηγύρεων, ὥς γε καὶ αἱ τῶν πρὸ ἡμῶν ἁγιωτάτων πατριαρχῶν σεβάσμιαι γραφαί, ὡς ἔφημεν, διορίζονται καὶ ἡ ἐπ᾽ αὐταῖς προγεγονυῖα ἡμετέρα ἐπικυρωτικὴ γραφὴ ἀριδήλως ἐντέλλεται, μηδόλως τολμήσοντός τινος ἱερωμένου ἢ καὶ ἀρχιερατικοῦ προσώπου, καὶ μάλιστα

1. *ἀπεκύρωσεν* 1-2. *αἰδισθεῖσα* 6. *ἀμφιρεπὲς* 7. *ἐκεῖσε*
14. *ἔχουσαν προσέθηκα* 15. *αὐτοῖς* 22. *συνοισφορᾶς* 31. *ὡς*
Μετὰ τὸ *ἡμῶν* ἔπεται *σεβάσμιαι* διαγεγραμμένον 33-34. *τολμήσαντος τινὸς*

Ε.Υ.Σ. της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀπὸ τῶν κατὰ καιροὺς γειτνιαζόντων ἐκεῖσε ἱερωτάτων ἀρχιερέων, τοῦ τε τῶν Φιλίππων καὶ τοῦ τῆς Δράμας καὶ τῶν λοιπῶν, πλεονεκτικήν τινα χεῖρα καὶ ἅρπαγα κινῆσαι κατὰ τῶν τοιούτων ἡμετέρων χώρων εἰς τὸ ἀποσπάσαι αὐτοὺς καὶ ἀλλοτριῶσαι τῆς εἰρημένης σεβασμίας καὶ ἱερᾶς μονῆς αὐτῆς ἤ τινα τῶν ἐν αὐταῖς εἰσοδημάτων τῶν ἐκκλησιαστικῶν σφετερίσασθαι, ἐπεὶ ὁ τοιοῦτόν τι τολμήσας ποιῆσαι καὶ εἰς ἀθέτησιν βουληθεὶς χωρῆσαι τῶν τε παλαιγενῶν σεβασμίων πατριαρχικῶν γραφῶν καὶ τῶν ἐπ᾽ αὐταῖς γεγενημένων ἡμετέρων ἐγγράφων διαταγῶν καὶ προσταξέων ἀρχιερεὺς μὲν ὢν ὁ τοιοῦτος ἢ ἱερεὺς ἀργίᾳ ἀσυγγνώστῳ καὶ ἀλλοτριώσει παντελεῖ τῆς αὐτοῦ ἀρχιερωσύνης ἢ καὶ ἱερωσύνης ἐνδίκως καθυποβληθήσεται καὶ τῷ αἰωνίῳ ἀναθέματι ‖ ὑπόδικος ἔσεται ὡς ἱερόσυλος ἄντικρυς, λαϊκὸς δὲ τυχὼν ἀφο- φ. 288
ρισμῷ ἀλύτῳ καὶ αἰωνίῳ τῷ ἀπὸ θεοῦ Κυρίου παντοκράτορος καὶ ἐξώσει τῆς τῶν Χριστιανῶν ἐκκλησίας καὶ ὁμηγύρεως, ὡς εἰκός, παιδευθήσεται, παραινουμένου ὡς ἐξ ἡμῶν ἀδελφικῶς τῷ τῆς παρακλήσεως πνεύματι καὶ τοῦ ἐξύστερον μεθ᾽ ἡμᾶς διαδεξομένου τῆς καθολικῆς καὶ ἀποστολικῆς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας ἁγιωτάτου πατριάρχου οὐχ ἧττον τοὺς πρὸ ἡμῶν ἁγιωτάτους πατριάρχας ἐκείνους μιμήσασθαι ἢ τὴν ἡμῶν μετριότητα καὶ ὁμοιοτρόπως τὰς τοιαύτας ἐγγράφους διατάξεις ἐκείνων τε καὶ ἡμῶν ἐπικυρῶσαι καὶ βεβαιῶσαι ὡς οἷόν τε ἄριστα. Εἰς ἔνδειξιν γὰρ ἁπάντων καὶ δηλοποίησιν ἐγένετο καὶ ἡ παροῦσα ἡμετέρα πατριαρχικὴ συνοδικὴ καὶ ἐπικυρωτικὴ σιγιλλιώδης γραφὴ καὶ ἐπεδόθη τῇ διαληφθείσῃ σεβασμίᾳ καὶ ἱερᾷ πατριαρχικῇ μεγάλῃ μονῇ τῇ ἐπ᾽ ὀνόματι τιμωμένῃ τῆς πανυπεράγνου δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας καὶ ἐπικεκλημένῃ τῆς Κοσινίσσης εἰς μόνιμον καὶ διηνεκῆ τὴν ἀσφάλειαν.

Ἐν ἔτει ,ζνβ < ,αφμδ > μηνὶ Δεκεμβρίῳ ἰνδικτιῶνος βας.

**Σημειωτέον, ὅτι τὸ ἀπὸ κτίσεως κόσμου ἔτος *,ζνβ´* κατὰ μῆνα Δεκέμβριον δὲν ἀνταποκρίνεται πρὸς τὸ σωτήριον 1544, ἀλλὰ τὸ 1543. Ἐπειδὴ δὲ βεβαίως τὸ σωτήριον ἔτος ἔχει ὀρθῶς, ὀφείλομεν νἀποδεχθῶμεν, ὅτι τὸ *,ζνβ´* ἐγράφη ἐκ παραδρομῆς ἀντὶ τοῦ *,ζνγ´* ἐν τῷ πατριαρχικῷ γραφείῳ ἢ μᾶλλον ὑπὸ τοῦ βιβλιογράφου.**

3. *κινήσαι* 4. *ἀποσπᾶσαι* *ἀλλοτριώσαι* 9-10. *ἀργείῃ* 15. *ἐξημῶν* 16. *διατεταμένου* 22. *σιγιλιώδης*

Ε.Υ. Δ…ης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006